✠

# Δέησις ὑπὲρ τῆς εἰρήνης εἰς τὴν οἰκουμένην

**Δέσποτα** Χριστέ, ὁ Θεὸς καὶ Σωτὴρ ἡμῶν, ὁ Ἄρχων καὶ ἡ Πηγὴ τῆς Ἀγάπης καὶ τῆς Εἰρήνης· **ἐ**πίβλεψον, ἱλέῳ ὄμματι, ἐπὶ τὰς δεινῶς δοκιμαζομένας χώρας τῆς Οὐκρανίας, τῆς Παλαιστίνης, ὡς καὶ πᾶσαν ἄλλην χώραν ἀνὰ τὴν οἰκουμένην, ἐν πολέμῳ καὶ ἀλληλομαχίᾳ εὑρισκομένην· **Σ**βέσον, Κύριε, τὰ φρυάγματα τῶν παθῶν καὶ τῆς ἀδελφοκτονίας· **κ**αὶ δὸς τῷ κόσμῳ παντί, τὴν Σὴν Εἰρήνην, καὶ τὴν Σὴν Ἀγάπην, καὶ τὸ Φῶς τοῦ Σταυροῦ καὶ τῆς Ἀναστάσεώς Σου· **π**ρεσβείαις τῆς Θεοτόκου καὶ πάντων τῶν Ἁγίων Σου· **ὅ**τι εὐλογητὸς εἶ καὶ δεδοξασμένος, σὺν τῷ Πατρὶ καὶ τῷ Ἁγίῳ Πνεύματι. **Ἀ**μήν!

Ἐν Φυλῇ Ἀττικῆς, 27.2.2024,
† Ὁσίου Προκοπίου Ὁμολογητοῦ

*† ὁ Ὠρωποῦ καὶ Φυλῆς Κυπριανὸς*